## 3 ΣΕΠΤΕΜΒΡΙΟΥ 2017

### † ΚΥΡΙΑΚΗ ΙΓ΄ ΜΑΤΘΑΙΟΥ

Ἀνθίμου ἱερομάρτυρος (†302), Θεοκτίστου ὁσίου (†467). Χαρίτωνος μάρτυρος· Πολυδώρου νεομάρτυρος (†1794)· ἀνακομιδὴ τοῦ ἱεροῦ λειψάνου τοῦ ἁγίου Νεκταρίου Πενταπόλεως (†1920).

Ἦχος δ΄. Ἑωθινὸν β΄.

* * * * *

### ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Μετὰ τὸν Προοιμιακὸν Ψαλμόν, καὶ τὸ πρῶτον Κάθισμα τοῦ Ψαλτηρίου, εἰς τό, Κύριε, ἐκέκραξα, ἱστῶμεν Στίχους ι΄, καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα δ΄, καὶ τοῦ Ἁγίου στ΄.

Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου.

Ἦχος δ΄.

Στίχ. α΄. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Τὸν ζωοποιόν σου Σταυρόν, ἀπαύστως προσκυνοῦντες Χριστὲ ὁ Θεός, τὴν τριήμερόν σου ἀνάστασιν δοξάζομεν· δι᾽ αὐτῆς γὰρ ἀνεκαίνισας, τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων, φύσιν Παντοδύναμε, καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, καθυπέδειξας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχ. β΄. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Τοῦ ξύλου τῆς παρακοῆς, τὸ ἐπιτίμιον ἔλυσας Σωτήρ, τῷ ξύλῳ τοῦ Σταυροῦ ἑκουσίως προσηλωθείς· καὶ εἰς ᾅδου κατελθὼν Δυνατέ, τοῦ θανάτου τὰ δεσμά, ὡς Θεὸς διέῤῥηξας· διὸ προσκυνοῦμεν τὴν ἐκ νεκρῶν σου ἀνάστασιν, ἐν ἀγαλλιάσει βοῶντες· Παντοδύναμε Κύριε, δόξα σοι.

Στίχ. γ΄. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Πύλας ᾅδου συνέτριψας Κύριε, καὶ τῷ σῷ θανάτῳ, τοῦ θανάτου τὸ βασίλειον ἔλυσας· γένος δὲ τὸ ἀνθρώπινον, ἐκ φθορᾶς ἠλευθέρωσας, ζωὴν καὶ ἀφθαρσίαν τῷ κόσμῳ δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Ἕτερα Στιχηρὰ Ἀνατολικά.

Στίχ. δ΄. Γενηθήτω τά ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Δεῦτε ἀνυμνήσωμεν λαοί, τὴν τοῦ Σωτῆρος τριήμερον ἔγερσιν, δι᾽ ἧς ἐλυτρώθημεν τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν, καὶ ἀφθαρσίαν καὶ ζωήν, πάντες ἐλάβομεν κράζοντες· Ὁ σταυρωθείς, καὶ ταφείς, καὶ ἀναστάς, σῶσον ἡμᾶς τῇ ἀναστάσει σου, μόνε Φιλάνθρωπε.

Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Στίχ. ε΄. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Νέκταρ ἀνεδείχθης ἀρετῶν, τῇ σῇ καθαρᾷ πολιτείᾳ, ἐν τοῖς ἐσχάτοις καιροῖς, ἅγιε Νεκτάριε Ἀρχιερεῦ τοῦ Χριστοῦ, καὶ τὰ θεῖά σου Λείψανα, καθηγιασμένα, Πνεύματος τῇ χάριτι, πιστοῖς ἐδόθησαν· ὧν περ τὴν σεπτὴν ἐκ τοῦ τάφου, ἀνακομιδὴν εὐφημοῦντες, τὸν σὲ θαυμαστώσαντα δοξάζομεν.

Στίχ. ϛ΄. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ὅτε σου ὁ τάφος ὁ σεπτός, ἤνοικται πολλὴ εὐωδία, πᾶσιν ἐκκέχυται, τότε σου τὰ ἅγια ὀστέα Ἅγιε, ὥσπερ ἄνθη πανεύοσμα, τῆς μελλούσης δόξης, ὤφθησαν ἐκφαίνοντα, χάριν τὴν ἄφθονον· ὅθεν τῇ αὐτῶν ἐκκομίσει, ἑορτὴν συστήσαντες θείαν, ὕμνοις σε γεραίρομεν Νεκτάριε.

Στίχ. ζ΄. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ἄλλη κολυμβήθρα Σιλωάμ, ὤφθη ἡ σορὸς τῶν σεπτῶν σου, Λειψάνων Ἅγιε, τῇ τοῦ θείου Πνεύματος, πλουσίᾳ χάριτι· θεραπεύει γὰρ πάντοτε, δεινὰς ἀσθενείας, καὶ διώκει πνεύματα, Πάτερ ἀκάθαρτα. Ὅθεν πᾶσα

γλῶσσα κηρύττει, τὰς σὰς θαυμαστὰς ἀντιλήψεις, ἃς παρέχεις ἅπασι Νεκτάριε.

Στίχ. η΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ὅτε τὴν ἁγίαν σου ψυχήν, Πάτερ τῷ Κυρίῳ ἀπέδως, ὅλην ὁλόφωτον, τότε συνηρίθμησαι, Ἁγίων τάξεσι, τὸ δὲ πάντιμον σῶμά σου, τῷ τάφῳ ἐδόθη, βρύον τὰ ἰάματα, τοῖς προσπελάζουσιν· οὗπερ ἑορτάζοντες πόθῳ, τὴν ἐκκομιδὴν Ἱεράρχα, χάριν κομιζόμεθα καὶ ἔλεος.

Στίχ. θ΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Ἴδε τοὺς προστρέχοντας πιστῶς, τοῖς σοῖς μυριπνόοις Λειψάνοις, εὐσπάγχνῳ ὄμματι, ἅγιε Νεκτάριε, καὶ δίδου ἅπασι, τὰς αἰτήσεις ἑκάστοτε, ψυχῶν καὶ σωμάτων, ἅπαντα ἰώμενος, τὰ ἀῤῥωστήματα· χάρις γὰρ θαυμάτων πλουσία, παρὰ τοῦ Χριστοῦ σοι ἐδόθη, ὃν ἀπὸ νεότητος ἠγάπησας.

Στίχ. ι΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Χαίρει ἡ ἁγία σου Μονή, ὥσπερ θησαυρὸν κεκτημένη, τὴν σὴν τιμίαν σορόν, καὶ ἡ νῆσος Αἴγινα, γάνυται Ἅγιε, τῇ θερμῇ προστασίᾳ σου, ἡ Ἑλλὰς δὲ πᾶσα, μέλπει τῶν θαυμάτων σου, τὰ ἐνεργήματα· πάντας γὰρ ὀξέως προφθάνεις, καὶ πολλῶν κινδύνων ἐξαίρεις, τοὺς προσκαλουμένους σε Νεκτάριε.

Δόξα. Τοῦ Ἁγίου. Ἦχος πλ. β΄.

Σήμερον καθάπερ κρίνα τοῦ ἀγροῦ, κατὰ τὸ θεῖον λόγιον, ἐκ τοῦ τάφου ἀνέτειλαν, τὰ σεπτά σου ὀστέα, θαυματοφόρε πάτερ Νεκτάριε· καὶ τῶν ἐν σοὶ χαρίτων, τὴν εὐωδίαν πνέοντα, τὰς ψυχικὰς αἰσθήσεις τῶν πιστῶν εὐφραίνουσι, καὶ τῶν παθῶν τὸ δυσῶδες ἐλαύνουσιν· ἡ γὰρ χάρις τοῦ Πνεύματος, ἀνεκφοίτητος ἐν τούτοις μένουσα, ἐνεργεῖ τὰ παράδοξα· ἰατρεῖον γὰρ θεῖον ὤφθησαν, καὶ ἱλαστήριον ψυχῶν, καὶ θλιβομένων καταφύγιον. Ὅθεν τὴν ἀνακομιδὴν αὐτῶν, ἐτησίως γεραίροντες, πιστῶς βοῶμέν σοι· Θεράπον Χριστοῦ θερμότατε, καὶ Ἱεράρχα ὅσιε, ἀπαύστως πρέσβευε, σῴζεσθαι τοὺς σὲ μακαρίζοντας.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος δ΄.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαυῒδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. Σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάση εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστὸς ὁ ἔχων, τὸ μέγα καὶ πλούσιον ἔλεος.

* * *

Εἴσοδος καὶ ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

Τῷ Σαββάτῳ ἑσπέρας.
Ἦχος πλ. β΄. Ψαλμὸς Ϟβ΄ (92).

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. (Ϟβ΄ 1)

Στίχ. α΄. Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (Ϟβ΄ 1)

Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ϟβ΄ 1)

Εἰ βούλει, εἰπὲ καὶ τὰ ἀναγνώσματα.

(Ζήτει τῇ Ϛ´ Δεκεμβρίου, τοῦ ἁγ. Νικολάου).

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(ι´ 7, γ´ 13-16, ἐκλογή).

Μνήμη δικαίου μετ᾿ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(ι´ 31-32, ια´ 1-12).

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι, βδέλυγμα ἐνώπιον Κυρίου· στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ᾿ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν, παγὶς πολίταις, αἴσθησις δὲ δικαίων, εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις· στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(δ´ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

* * *

Εἶτα ἡ συνήθης Ἐκτενής, τό, Καταξίωσον, τὰ Πληρωτικά, ἡ κεφαλοκλισία κ.λπ.

* * *

Εἰς τὸν Στίχον. Ἀπόστιχα Στιχηρά.

Τὸ Ἀναστάσιμον. Ἦχος δ΄.

Κύριε ἀνελθὼν ἐν τῷ σταυρῷ, τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας, καὶ κατελθὼν ἐν τῷ ᾅδῃ τοὺς ἀπ᾿ αἰῶνος δεσμίους ἠλευθέρωσας, ἀφθαρσίαν δωρούμενος τῶν ἀνθρώπων τῷ γένει· διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιὸν καὶ σωτήριόν σου ἔγερσιν.

Τοῦ ἱεράρχου, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖ ςἁγίοις αὐτοῦ.

Πάλιν πνευματικῆς ἑορτῆς, ἡμῖν αἰτία καὶ ὑπόθεσις γέγονε, Νεκτάριε Ἱεράρχα, τῶν σῶν ἁγίων ὀστῶν, ἡ ἀπὸ τοῦ τάφου ἀνακόμισις· ἐν ᾗ ἑορτάζοντες, εὐφροσύνης πληρούμεθα, καὶ τῇ σορῷ σου, εὐλαβῶς προσπελάζοντες, κομιζόμεθα, ἐξ αὐτῆς χάριν ἄφθονον. Δίδου ἡμῖν ἑκάστοτε, ταχεῖαν βοήθειαν, ὡς μιμητὴς τοῦ Δεσπότου, πάσης ἀνάγκης ῥυόμενος, τοὺς πίστει τελείᾳ, ἐξαιτοῦντας θεοφόρε, τὴν προστασίαν σου.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χαίρει ἡ εὐαγής σου Μονή, ὡς θησαυρὸν καὶ κιβωτὸν ἁγιάσματος, κατέχουσα Ἱεράρχα, τὴν σὴν ἁγίαν σορόν, καθαγιασθεῖσαν θείῳ Πνεύματι· καὶ ταύτῃ συῤῥέουσιν, ἐκ περάτων Νεκτάριε οἱ ἐν ἀνάγκαις, καὶ ἐν νόσοις καὶ θλίψεσι, καὶ λαμβάνουσι, συμπαθῶς τὰ αἰτήματα· κρήνη γὰρ ἀνεξάντλητος, θαυμάτων γεγένηται, καὶ καταφύγιον μέγα, καὶ ἰατρεῖον ἀδάπανον· Χριστὸς γὰρ πλουσίως, ὃν ἐδόξασας ἐν βίῳ, σὲ ἐθαυμάστωσε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις νέος ἀστὴρ παμφαής, τῆς Ἐκκλησίας Ἱεράρχα Νεκτάριε, ὁ λύσας δοκησισόφων, τὰς σοφιστείας τρανῶς, ἐν δυνάμει Πάτερ θείου Πνεύματος· πηγὴ ἡ πηγάζουσα, ἀενάως ἰάματα· νήσου Αἰγίνης, θεοδώρητος ἔφορος, καὶ πρὸς Κύριον, πρεσβευτὴς ἀκαταίσχυντος. Φρούρει οὖν ταύτην Ἅγιε, ταῖς σαῖς ἀντιλήψεσι, σὺν τῇ ἁγίᾳ Μονῇ σου, καὶ τὴν Ἑλλάδα νῦν ἅπασαν, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Ἱεραρχίας τὴν στολήν, ταῖς ἀρεταῖς λαμπρύνας Νεκτάριε, Ἁγίων ἰσότιμος ὤφθης, ἁγιοπρεπῶς πολιτευσάμενος· καὶ νῦν πλήρη ἁγιότητος, τὰ σὰ τίμια Λείψανα, ἐκ τοῦ τάφου δέδωκας ἡμῖν, τοῖς ποθοῦσί σε Ἅγιε. Διὸ τὴν τούτων ἀνακομιδήν, πιστῶς ἑορτάζοντες βοῶμέν σοι· Πρέσβευε Ἱεράρχα, τῷ πανοικτίρμονι Θεῷ, δίδοσθαι ἡμῖν τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

* * *

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.

Ἀπολυτίκιον Ἀναστάσιμον. Ἦχος δ΄.

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Τὸ Ἀπολυτίκιον τοῦ Ἱεράρχου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν σεπτῶν σου Λειψάνων, Ἱεράρχα Νεκτάριε, τὴν ἁγίαν ἐκ τάφου κομιδὴν ἑορτάζοντες, σωμάτων καὶ ψυχῶν ἁγιασμόν, καὶ ἴασιν παθῶν παντοδαπῶν, κομιζόμεθα προσπίπτοντες εὐλαβῶς, τῇ χάριτί σου κράζοντες· δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Δόξα. Καὶ τὸ γνωστόν. Ὅμοιον.

Σηλυβρίας τὸν γόνον, καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί,

ὡς ἔνθεον θεράποντα Χριστοῦ· ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Καὶ Ἀπόλυσις.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,
Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

### ΑΠΟΛΥΤΙΚΙΑ

Τὸ Ἀναστάσιμον. Ἦχος δ΄.

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Τὸ Ἀπολυτίκιον τοῦ Ἱεράρχου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν σεπτῶν σου Λειψάνων, Ἱεράρχα Νεκτάριε, τὴν ἁγίαν ἐκ τάφου κομιδὴν ἑορτάζοντες, σωμάτων καὶ ψυχῶν ἁγιασμόν, καὶ ἴασιν παθῶν παντοδαπῶν, κομιζόμεθα προσπίπτοντες εὐλαβῶς, τῇ χάριτί σου κράζοντες· δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Δόξα. Καὶ τὸ γνωστόν. Ὅμοιον.

Σηλυβρίας τὸν γόνον, καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ· ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι σὸν τὸ κράτος...

* * *

### ΚΑΘΙΣΜΑΤΑ

[Τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος]

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἀναστάσιμον. Ἦχος δ΄.

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φέρουσαι, αἱ Μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι· Ἄρα ἐκλάπη, ὁ τῷ λῃστῇ ἀνοίξας Παράδεισον; ἄρα ἠγέρθη, ὁ καὶ πρὸ πάθους κηρύξας τὴν ἔγερσιν; Ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεός, τοῖς ἐν ᾅδῃ παρέχων ζωὴν καὶ ἀνάστασιν.

Δόξα. Κατεπλάγη Ἰωσήφ.

Ἑκουσίᾳ σου βουλῇ, Σταυρὸν ὑπέμεινας Σωτήρ, καὶ ἐν μνήματι καινῷ, ἄνθρωποι ἔθεντο θνητοί, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον· ὅθεν δεσμευθεὶς ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο, καὶ οἱ ἐν ᾅδῃ ἅπαντες ἐκραύγαζον, τῇ ζωηφόρῳ ἐγέρσει σου· Χριστὸς ἀνέστη, ὁ ζωοδότης, μένων εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ´. Ταχὺ προκατάλαβε.

Ἀνέστης ὡς ἀθάνατος, ἀπὸ τοῦ ᾅδου Σωτήρ· συνήγειρας τὸν κόσμον σου, τῇ ἀναστάσει τῇ σῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἔθραυσας ἐν ἰσχύϊ, τοῦ θανάτου τὸ κράτος· ἔδειξας Ἐλεῆμον, τὴν ἀνάστασιν πᾶσι· διό σε καὶ δοξάζομεν, μόνε Φιλάνθρωπε.

Δόξα. Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῶν ἄνω κατελθών, τῶν ὑψωμάτων Γαβριήλ, καὶ τῇ πέτρᾳ προσελθών, ἔνθα ἡ πέτρα τῆς ζωῆς, λευχειμονῶν ἀνεκραύγαζε ταῖς κλαιούσαις· Παύσασθε ὑμεῖς, τῆς θρηνώδους κραυγῆς, ἔχουσαι ἀεὶ τὸ εὐσυμπάθητον· ὃν γὰρ ζητεῖτε κλαίουσαι, θαρσεῖτε, ὡς ἀληθῶς ἐξεγήγερται· διὸ βοᾶτε, τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι! καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσιν.

Εἶτα τὸ ἐκ τῆς φυλλάδος μετὰ τὸν πολυέλεον Κάθισμα τοῦ ἱεράρχου.

Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Ἡ σορὸς τῶν σεπτῶν σου Λειψάνων Ἅγιε, ἰατρεῖον ἐδείχθη πᾶσιν ἀδάπανον· θεραπεύει γὰρ ἀεὶ θείᾳ χάριτι, τοὺς προστρέχοντας πιστῶς, νοσημάτων χαλεπῶν, Νεκτάριε Ἱεράρχα, καὶ τῶν δαιμόνων διώκει, θείᾳ ῥοπῇ πᾶσαν ἐνέργειαν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἡ γαστήρ σου Παρθένε ἡ παναμώμητος, πλατυτέρα ἐδείχθη τῶν οὐρανῶν ἀληθῶς, ὡς χωρήσασα Θεὸν τὸν ἀχώρητον· ὅθεν πᾶσαι γενεαί, μακαρίζομεν πιστῶς, ὡς μόνην σὲ Θεοτόκον, καὶ σωτηρίαν καὶ σκέπην, ἡμῶν καὶ μέγα καταφύγιον.

* * *

## ΑΝΑΣΤΑΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

[Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια]

Ἦχος πλ. α´.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος * κατεπλάγη ὁρῶν σε * ἐν νεκροῖς λογισθέντα, * τοῦ θανάτου δέ, Σῶτερ, * τὴν ἰσχὺν καθελόντα * καὶ σὺν ἑαυτῷ * τὸν Ἀδὰμ ἐγείραντα * καὶ ἐξ ᾅδου * πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα * συμπαθῶς τοῖς δάκρυσιν, * ὦ μαθήτριαι, κιρνᾶτε; * ὁ ἀστράπτων * ἐν τῷ τάφῳ ἄγγελος * προσεφθέγγετο ταῖς μυροφόροις· * Ἴδετε ὑμεῖς * τὸν τάφον καὶ ἥσθητε· * ὁ Σωτὴρ γὰρ * ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωῒ * μυροφόροι ἔδραμον * πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· * ἀλλ᾽ ἐπέστη * πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε· * Θρήνου ὁ καιρὸς * πέπαυται· μὴ κλαίετε· * τὴν ἀνάστασιν δὲ * ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε·
δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες * μετὰ μύρων ἐλθοῦσαι * πρὸς τὸ μνῆμά σου, Σῶτερ, * ἐνηχοῦντο ἀγγέλου * πρὸς αὐτὰς φθεγγομένου· * Τί μετὰ νεκρῶν * τὸν ζῶντα λογίζεσθε; * ὡς Θεὸς γὰρ * ἐξανέστη τοῦ μνήματος.

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ ἁγίῳ Πνεύματι.

Προσκυνοῦμεν Πατέρα * καὶ τὸν τούτου Υἱόν τε * καὶ τὸ ἅγιον Πνεῦμα, * τὴν ἁγίαν Τριάδα * ἐν μιᾷ τῇ οὐσίᾳ, * σὺν τοῖς Σεραφὶμ * κράζοντες τὸ Ἅγιος, * ἅγιος, ἅγιος εἶ, Κύριε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ζωοδότην τεκοῦσα, * ἐλυτρώσω, Παρθένε, * τὸν Ἀδὰμ ἁμαρτίας· * χαρμονὴν δὲ τῇ Εὔᾳ * ἀντὶ λύπης παρέσχες· * ῥεύσαντα ζωῆς, * ἴθυνε πρὸς ταύτην δὲ * ὁ ἐκ σοῦ σαρκωθεὶς * Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. (ἐκ γ´)

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα...

* * *

## ΥΠΑΚΟΗ, ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

### Ἡ Ὑπακοή. Ἦχος δ´.

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστέ, ὅτι ἀνέστης ὡς Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Οἱ Ἀναβαθμοί. Ἦχος δ´.

### Ἀντίφωνον Α´.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

### Ἀντίφωνον Β´.

Ἐκέκραξά σοι Κύριε, θερμῶς ἐκ βάθους ψυχῆς μου· Κἀμοὶ γενέσθω, πρὸς ὑπακοὴν τὰ θεῖά σου ὦτα.

Ἐπὶ τὸν Κύριον ἐλπίδα πᾶς τις κεκτημένος, ὑψηλότερός ἐστι, πάντων τῶν λυπούντων.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

### Ἀντίφωνον Γ´.

Ἡ καρδία μου πρὸς σὲ Λόγε ὑψωθήτω, καὶ οὐδὲν θέλξει με, τῶν τοῦ κόσμου τερπνῶν πρὸς χαμαιζηλίαν.

Ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἔχει τις στοργήν, ἐπὶ τῷ Κυρίῳ, θερμότερον φίλτρον χρεωστοῦμεν.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεογνωσίας πλοῦτος, θεωρίας καὶ σοφίας· πάντα γὰρ ἐν τούτῳ, τὰ πατρῷα δόγματα, ὁ Λόγος ἐκκαλύπτει.

### Προκείμενον. Ψαλμὸς μγ´ (43).

Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. (δίς)

Στίχ. Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

Ἀνάστα Κύριε, βοήθησον ἡμῖν...

* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...

Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεσάτω πνοὴ... πᾶσα τὸν Κύριον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Κύριε, ἐλέησον. (γ´)

Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Καὶ τῷ Πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεὺς ἀναγινώσκει
τὸ ἐνδιάτακτον ἑωθινὸν Εὐαγγέλιον.

### Ἑωθινὸν Β´

Ἐκ τοῦ κατὰ Μᾶρκον (ιστ´ 1-8).

Διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν τὸν Ἰησοῦν. Καὶ λίαν πρωὶ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· Ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ᾿ ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, * προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, * τὸν μόνον ἀναμάρτητον. * Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν * καὶ τὴν ἁγίαν σου ἀνάστασιν * ὑμνοῦμεν καὶ δοξάζομεν· * σὺ γὰρ εἶ Θεὸς ἡμῶν, * ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, * τὸ ὄνομά σου ὀνομάζομεν. * Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν * τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· * ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ * χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. * Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, * ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. * Σταυρὸν γὰρ ὑπομείνας δι᾿ ἡμᾶς, * θανάτῳ θάνατον ὤλεσεν.

Οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον τὸν ν´ ψαλμόν, προτάσσοντες (ἐν Κυριακῇ) τὴν προφώνησιν Ἐλεῆμον.

Ἦχος β´.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἐν Κυριακῇ προστίθεται εἰς τὸν τελευταῖον στίχον τὸ ἐφύμνιον· Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων * πρεσβείαις, ἐλεῆμον, * ἐξάλειψον τὰ πλήθη * τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου * πρεσβείαις, ἐλεῆμον, * ἐξάλειψον τὰ πλήθη * τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ πεντηκοστάριον. Ἦχος ὁ αὐτός.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, * καθὼς προεῖπεν, * ἔδωκεν ἡμῖν * τὴν αἰώνιον ζωὴν * καὶ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

Οἱ Κανόνες· ὁ Ἀναστάσιμος
καὶ οἱ δύω τοῦ Μηναίου.

Ὠιδὴ α΄. Ὁ Ἀναστάσιμος εἰς δ΄.

Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἦχος δ΄. Ὁ εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ὑψώθης τὴν ἡμετέραν ἔκπτωσιν, ἐπανορθούμενος, ἐν τῷ ἀχράντῳ ξύλῳ τοῦ Σταυροῦ, τὴν ἐν ξύλῳ ἰώμενος, πανωλεθρίαν Δέσποτα, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδῃ δὲ μετὰ ψυχῆς ὡς Θεός· ἐν Παραδείσῳ δὲ μετὰ ληστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι᾽ ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Καὶ τοῦ Ἁγίου, φέρων τήνδε ἀκροστιχίδα·
Τοῖς σοῖς λειψάνοις ὦ Νεκτάριε αἶνος.
Γερασίμου.

Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς ἀφθαρσίας εἰληφὼς τὸν στέφανον, ὡς Ἱεράρχης σοφός, καὶ Ἁγίων πάντων, σύσκηνος γενόμενος, Νεκτάριε ἱκέτευε, φωτισμόν μοι δοθῆναι, τὴν ἐκ τοῦ τάφου γεραίροντι, ἀνακομιδὴν τῶν Λειψάνων σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ ποταμὸς τῶν δωρεῶν τοῦ Πνεύματος, ἐν τοῖς Λειψάνοις τοῖς σοῖς, νοητῶς ἐχύθη, ἅγιε Νεκτάριε· ἐντεῦθεν πελαγίζουσιν, ἰαμάτων τὰ ῥεῖθρα, τῶν παθημάτων τὸν βόρβορον, καὶ ἀσθενειῶν κατακλύζοντα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴδε ὑψόθεν ἅγιε Νεκτάριε, τοὺς προσιόντας πιστῶς, τῇ ἁγίᾳ θήκῃ, τῶν σεπτῶν Λειψάνων σου, καὶ δίδου πᾶσιν Ὅσιε, πατρικῇ συμπαθείᾳ, ῥῶσιν καὶ χάριν καὶ ἔλεος, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Δόξα.

Σὲ προστασίαν καὶ θερμὴν ἀντίληψιν, ἡ σὴ ἁγία Μονή, κεκτημένη Πάτερ, πάσης βλάβης ῥύεται, καὶ τοῖς σεπτοῖς Λειψάνοις σου, καυχωμένη λαμβάνει, τὴν ἐξ αὐτῶν εὐλογίαν σου, ὕμνους σοι χαρᾶς ἀναμέλπουσα.

Θεοτοκίον.

Σωματοφόρον ὑπὲρ λόγον τέτοκας, τὸν πρὶν ἀσώματον, τοῦ Πατρὸς Παρθένε, Λόγον τὸν συνάναρχον, καὶ τοῦ Ἀδὰμ ἀνέτρεψας, τὴν ἀρχαίαν κατάραν· διό σε πάντες γεραίρομεν, ὡς ζωὴν ἡμῖν θείαν βλύσασαν.

Ὠιδὴ γ΄. Ὁ Ἀναστάσιμος.

Ἦχος δ΄. Ὁ εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Τὸ ξύλον τὸ τῆς ζωῆς, ἡ νοητὴ καὶ ἀληθὴς Ἄμπελος, ἐπὶ Σταυροῦ κρέμαται, πᾶσιν ἀμβροσίαν πηγάζουσα.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ὡς μέγας ὡς φοβερός, ὡς τοῦ ᾅδου καθελὼν φρύαγμα, καὶ ὡς Θεὸς ἄφθαρτος, νῦν σωματικῶς ἐξεγήγερται.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ Χαῖρε προσάγομεν.

Κανὼν τοῦ Ἁγίου. Ὠιδὴ γ΄.
Ἦχος πλ. δ΄ Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὅλον τὸν πόθον πρὸς Χριστόν, ἀπὸ νεότητος ἔχων, Ἱεράρχης θεοφόρος ἐδείχθης, ἐν ἐσχάτοις τοῖς καιροῖς, Νεκτάριε μακάριε, τοῖς ἴχνεσι τῶν πάλαι, Ἁγίων Πάτερ ἑπόμενος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰαματόβρυτος πηγή, τῇ θεϊκῇ ἐπομβρίᾳ, ἡ σορὸς τῶν σῶν Λειψάνων ὁρᾶται· ὧν τὴν ἀνακομιδήν, τὴν ἐκ τοῦ τάφου μέλποντες, ἑόρτιόν σοι αἶνον, πάτερ Νεκτάριε ᾄδομεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σαρκὸς νεκρώσας τὰς ὁρμάς, τῇ ζωηφόρῳ νεκρώσει, ζωῆς θείας κληρονόμος ἐδείχθης, καὶ τὰ θεῖά σου ὀστᾶ, ὡς θησαυρὸν πολύτιμον, τῆς θείας ἐνεργείας, ἡμῖν Νεκτάριε δέδωκας.

Δόξα.

Λάμψας τοῦ βίου τῇ νυκτί, ὡς φαεινὸς ἑωσφόρος, καταυγάζεις τῶν θαυμάτων τῇ αἴγλῃ, τὰς καρδίας τῶν πιστῶν, τῶν προσκυνούντων Ἅγιε, τῶν σῶν σεπτῶν Λειψάνων, σορὸν τὴν θείαν Νεκτάριε.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ τῶν αἱμάτων σου Ἁγνή, φορέσας ὁ Θεὸς Λόγος, τῆς σαρκὸς τὸ περιβόλαιον Κόρη, δι-

πλοῦς ὤφθη ἐπὶ γῆς, Θεὸς ὁμοῦ καὶ ἄνθρωπος, ἀνερμηνεύτῳ τρόπῳ, καὶ πάντα κόσμον διέσωσε.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

### Κοντάκιον τοῦ ἱεράρχου.

### Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῶν σεπτῶν Λειψάνων σου, τὴν ἐκ τοῦ τάφου, κομιδὴν γεραίροντες, Νεκτάριε θαυματουργέ, εὐσεβοφρόνως βοῶμέν σοι· Χαίροις Πατέρων ἐν πᾶσιν ἰσότιμε.

### Ὁ Οἶκος.

Ὡς ὀσμὴ ἀγροῦ πλήρους Νεκτάριε, ἡ ὀσμὴ τῶν ἁγίων Λειψάνων σου, ὡς ἔφη πάλαι Ἰσαάκ, ἐπευλογῶν τὸν Ἰακώβ· σὺ γὰρ ὅλος καθαγιασθείς, τῇ ἐναρέτῳ ζωῇ ἁγιότητος ὤφθης σκεῦος ἐκλεκτόν, καὶ τῶν πάλαι Ἁγίων ἰσότιμος καὶ κοινωνός· διὸ καὶ ἡ σορὸς τῶν σῶν σεπτῶν Λειψάνων, κιβωτὸς ἁγιάσματος πᾶσι πρόκειται, τῇ τοῦ Παναγίου Πνεύματος ἐπιφοιτήσει, καθαγιάζουσα τοὺς προσερχομένους, καὶ θεραπεύουσα νόσους ἀνιάτους, καὶ νέμουσα καινισμὸν μετανοίας, πεπαλαιωμέναις ψυχαῖς τῇ ἁμαρτίᾳ· ὧν τὴν σεπτὴν ἀνακομιδὴν ἑορτάζοντες, τὰ σὰ θαυμάσια εὐσήμως κηρύττομεν, καὶ εὐσεβοφρόνως βοῶμέν σοι· χαίροις Πατέρων ἐν πᾶσιν ἰσότιμε.

### Κάθισμα τοῦ ἱεράρχου.

### Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοὺς ἑορτάζοντας πιστῶς Ἱεράρχα, τῶν σῶν Λειψάνων τὴν ἁγίαν ἡμέραν, καὶ ὡς Θεοῦ θεράποντα τιμῶντές σε, σκέπε ταῖς πρεσβείαις σου, ἀπὸ πάσης ἀνάγκης, πειρασμῶν ἐκλύτρωσιν, καὶ πταισμάτων τὴν λύσιν, παρὰ Θεοῦ αἰτούμενος ἡμῖν, θαυματοφόρε, Νεκτάριε ὅσιε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τῇ προστασίᾳ σου Ἁγνὴ Θεοτόκε, τοὺς καταφεύγοντας ἐξ ὅλης καρδίας, τῆς τοῦ ἐχθροῦ μανίας ἀπολύτρωσαι· δίδου δὲ βοήθειαν, τοῖς ἐν θλίψεσιν οὖσιν, ὡς Μήτηρ φιλεύσπλαγχνος, τοῦ τῶν ὅλων Δεσπότου, καὶ τῆς μελλούσης δόξης καὶ χαρᾶς, ἡμᾶς μετόχους, Παρθένε ἀνάδειξον.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

### Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα.

### Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὁ Σωτὴρ καὶ ῥύστης μου, ἀπὸ τοῦ τάφου, ὡς Θεὸς ἀνέστησεν, ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας ᾅδου συνέτριψε, καὶ ὡς Δεσπότης, ἀνέστη τριήμερος.

### Ὁ Οἶκος.

Τὸν ἀναστάντα ἐκ νεκρῶν, Χριστὸν τὸν ζωοδότην, τριήμερον ἐκ τάφου καὶ πύλας τοῦ θανάτου σήμερον συνθλάσαντα, τῇ δυνάμει τῇ αὐτοῦ, τὸν ᾅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα, ὑμνήσωμεν πάντες οἱ γηγενεῖς, εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς· Αὐτὸς γὰρ ὡς μόνος κραταιὸς Θεὸς καὶ Δεσπότης, ἀνέστη τριήμερος.

### Συναξάριον.

Τῇ γ΄ τοῦ αὐτοῦ μηνός, τὴν ἀνακομιδὴν ἑορτάζομεν τῶν τιμίων Λειψάνων τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Νεκταρίου Ἐπισκόπου Πενταπόλεως τοῦ θαυματουργοῦ, γενομένην ἐν ἔτει σωτηρίῳ ͵αϠνγ΄ (1953).

Στίχ. Ἐκ γῆς τὰ σὰ Λείψανα φανέντα Πάτερ, πᾶσι φαίνουσι τὴν κεκρυμμένην χάριν.

Τριτίῃ, Νεκταρίοιο γῆθεν ὀστέα φαάνθη.

Οὗτος ὁ νέος λαμπρὸς τῆς Ἐκκλησίας ἀστήρ, ὁ θαυμάτων δυνάμεσι παραδόξως παρὰ Θεοῦ δοξασθείς, κεκοίμηται τῇ θ΄ Νοεμβρίου μηνός, τοῦ σωτηρίου ἔτους ͵αϠκ΄ (=1920), ὡς διεξοδικῶς περὶ αὐτοῦ ἱστόρηται κατὰ τὴν μνήμην τῆς πρὸς Θεὸν αὐτοῦ ἐκδημίας. Σήμερον ἑορτάζομεν τὴν ἐκ τοῦ τάφου ἀνακομιδὴν τῶν ἁγίων καὶ χαριτοβρύτων αὐτοῦ Λειψάνων, ἥτις ἐγένετο ἐν ἔτει χιλιοστῷ ἐνακοστιοστῷ πεντηκοστῷ τρίτῳ (=1953), τῇ γ΄ τοῦ μηνὸς Σεπτεμβρίου, ἀρχιερατεύοντος τοῦ Μητροπολίτου Ὕδρας, Σπετσῶν καὶ Αἰγίνης Προ-

κοπίου, παρεστώτων τοῦ τε ἀρχιερέως πρώην Ἠλείας Ἀντωνίου, τῶν τῆς νήσου Ἀρχῶν, τῶν τε Μοναζουσῶν σὺν τῷ ἱερῷ Κλήρῳ, καὶ τοῦ τῆς Ἐπικρατείας συμβούλου.

Πάντων οὖν τούτων παρισταμένων, ἠνέῳκται ὁ τάφος· αὐτίκα δὲ ἄῤῥητος ἐξέδραμε καὶ διεκκέχυται εὐωδία, ὡς ὀσμὴ μύρων πολλῶν ἐν τῷ ἀέρι χεομένων· ὁσίαις δὲ χερσὶν ἀνακομισθέντα ἐκεῖθεν τὰ τοῦ Ἁγίου τίμια Λείψανα καὶ πολυτίμοις θήκαις ἐναποτεθέντα, κατετέθησαν τῇ εὐαγεῖ αὐτοῦ Μονῇ ὡς θησαυρὸς ἀκένωτος τῆς θείας χάριτος καὶ ἀδαπάνητον ἰατρεῖον πολυειδῶν νοσημάτων καὶ πόνων καὶ θλίψεων. Πλεῖστα δὲ μέρη καὶ πόλεις ἠξιώθησαν ἔχειν τμήματα ἐκ τῶν σεπτῶν τούτου Λειψάνων πρὸς ἁγιασμὸν τῶν πιστῶν καὶ θεραπείαν τῶν ἀσθενῶν, καὶ ἄπειρα θαύματα ἐνήργησε καὶ ἐνεργεῖ ὁ μέγας οὗτος καὶ ἡγιασμένος πατήρ, καὶ πανταχοῦ προφθάνει, διασῴζων τοὺς καλοῦντας αὐτὸν ὡς ἡ περὶ αὐτοῦ ἐν πλάτει διέξεισι δέλτος.

Ἡ δὲ ἀνακομιδὴ ἔγινε τὴν 2αν Σεπτεμβρίου καὶ ὥραν 7ην μ.μ. Μετὰ τὴν ἀνακομιδήν, ὡς καὶ τὴν ἑπομένην ἡμέραν, ἀνεδύετο ἐκ τῶν Ἁγίων καὶ μυριπνόων λειψάνων ἰσχυροτάτη οὐρανία καὶ γλυκεῖα εὐωδία, τὴν ὁποίαν ᾐσθάνοντο ὄχι μόνον οἱ ἐν τῇ Μονῇ εὑρισκόμενοι, ἀλλὰ καὶ πέρα αὐτῆς οἱ τῆς πέριξ περιοχῆς κάτοικοι. Τὴν ἑπομένην τῆς ἀνακομιδῆς, ἀνήρχετο τὸ ἐκτελοῦν τὴν συγκοινωνίαν Αἰγίνης-Μονῆς-Μεσαγροῦ-Ἁγίας Μαρίνης λεωφορεῖον. Ὅτε δὲ τοῦτο εὑρίσκετο εἰς τὴν γέφυραν τῶν Ἁγίων Ἀποστόλων, γυνὴ ἐλευθερίων ἠθῶν μεταξὺ τῶν ἐπιβατῶν τοῦ λεωφορείου εὑρισκομένη, ᾐσθάνθη, ὡς βραδύτερον αὕτη μᾶς ἀνεκοίνωσε, τὴν ἰσχυροτάτην εὐωδίαν, τὴν ἐκπεμπομένην ἐκ τῶν ἁγίων λειψάνω καὶ διαχεομένην εἰς τὰ πέριξ, τὴν ὁποίαν ᾐσθάνθησαν καὶ πάντες οἱ λοιποὶ συνεπιβάται ζωηρότατα. Πρωωρίζετο δὲ αὕτη νὰ κατέλθῃ εἰς Ἁγίαν Μαρίναν, ὅπου θὰ εἶχε συνάντησιν μετά τινος ἀνδρός. Ἀλλ᾽ ὅτε ἔφθασεν ἐκεῖ, ἐπισκιασάσης τῆς χάριτος τοῦ Ἁγίου, ὑπέστη ἄμεσον καὶ ἀπότομον μεταβολὴν εἰς τὸν ἔσω ἄνθρωπον καὶ ἀντὶ νὰ συνεχίσῃ τὴν ἐκπλήρωσιν τοῦ σκοποῦ της, ἐπέβη τοῦ ἰδίου λεωφορείου καὶ κατῆλθεν εἰς τὴν στάσιν τῆς Μονῆς, ὅπου ἀφαιρέσασα τὰ ὑποδήματά της ἀνῆλθε γυμνόπους τὸν ἀνηφορικὸν πρὸς τὴν Μονὴν δρόμον, καὶ εἰσῆλθε κλαίουσα εἰς τὸν Ναόν, ἔνθα εἶχεν ἀποτεθῆ ἡ μυρίπνοος Κάρα τοῦ Ἁγίου. Τότε, ἐν τελείᾳ μετανοίᾳ, ἐν κλαυθμῷ καὶ κοπετῷ, προσπεποῦσα κατεπάσθη τὴν Ἁγίαν Κάραν, αἰσθανθεῖσαν τὴν ἰδίαν ἄῤῥητον εὐωδίαν τὴν ὁποίαν καὶ ἐν τῇ ὁδῷ ἐντὸς τοῦ λεωφορείου. Καὶ εὐγνωμονοῦσα και εὐχαριστοῦσα τὸν Ἅγιον, διότι ηὐδόκησε διὰ τῆς χάριτός του νὰ ἐπενεργήσῃ ἐπ᾽ αὐτῆς θαυματουργικῶς, ὥστε νὰ καταλίπῃ τὴν ἁμαρτωλὴν καὶ ἀθλίαν ζωήν, ἀφήρεσεν ἐκ τοῦ τραχήλου της τὸ ὅπερ ἔφερεν χρυσοῦν περιδέραιον καὶ τὸν ἀφιέρωσε εἰς τὸν εὐεργετήσαντα αὐτὴν Ἅγιον, ἐναποθέσασα αὐτὸ ἐπὶ τοῦ δίσκου, ἔνθα ἡ Ἁγία Κάρα. Μετά, στραφεῖσα πρὸς τὴν Ἡγουμένην καὶ τοὺς περὶ αὐτὴν ἐπισκέπτας, ἐξωμολογήθη καὶ ὡμολόγησε παῤῥησίᾳ, ὅτι μέχρι τῆς στιγμῆς ἐκείνης ἔζη καὶ διῆγε βίον ἔκλυτον καὶ ἁμαρτωλόν, καὶ ὅτι μετεβλήθη ἀποτόμως, ἀλλοιωθεῖσα διὰ τῆς ἀοράτως ἐπισκιασάσης αὐτὴν χάριτος τοῦ Ἁγίου Νεκταρίου, καὶ ἐζήτει συγχώρησιν, ἐξωμολογηθεῖσα. Καὶ ἤδη ἡ γυνὴ αὕτη, ἀπομακρυνθεῖσα πλέον διὰ τῆς χάριτος τοῦ Ἁγίου ἐκ τοῦ πρώην ἐκλύτου βίου, ζῇ καὶ διάγει βίον σεμνὸν καὶ χριστιανικόν, δοξάζουσα τὸν θαυματουργὸν Ἅγιον, εἰκόνα τοῦ ὁποίου ἀφιέρωσεν εἰς τὸ παρεκκλήσιον τοῦ Ἁγίου Νικολάου, τοῦ εὑρισκομένου ἐπὶ τοῦ λιμενοβραχίονος τῆς Αἰγίνης, ὅπου, καθ᾽ ἕκαστον ἔτος κατὰ τὴν ἑορτὴν τοῦ Ἁγίου, τελεῖ Λειτουργίαν.

### Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Ἀνθίμου, Ἐπισκόπου Νικομηδείας. (†303)

Στίχ. Τμηθεὶς κεφαλήν, Μάρτυς Ἄνθιμε, ξίφει,
Καὶ νεκρὸς ἀνθεῖς εἰς Θεοῦ δόξαν τρίχας.

Ἄνθιμον ἐν τριτάττῃ ἀπέκτεινε ξίφος ὀξύ.

### Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοκτίστου, συνασκητοῦ τοῦ Μεγάλου Εὐθυμίου.

Στίχ. Εἰδὼς σὸν εἶναι τὸν Θεὸν Κτίστην, Πάτερ,
Αὐτὸν πρὸ πάντων ἐξελέξω κτισμάτων.

### Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Ζήνων, ἐν λέβητι μολύβδου κοχλάζοντος βληθείς, τελειοῦται.

Στίχ. Ζήνων ὁ θεῖος τοῦ Θεοῦ πόθῳ ζέων,
Χαίρων ὑπῆλθε τοῦ μολύβδου τὸ ζέον.

### Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Χαρίτων, ἐν ἀσβέστου βόθρῳ βληθείς, τελειοῦται.

Στίχ. Εἰσδὺς Χαρίτων εἰς τὸν ἀσβέστου βόθρον,
Ἄσβεστον εὗρε φῶς ἀκηράτου τόπου.

### Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Μάρτυς Ἀρχοντίων λιμῷ τελειοῦται.

Στίχ. Ἀρχοντίων, λίμωττε κἀντεῦθεν τρέχε,
Ἄρχοντα κόσμου λαμίαν νοουμένην.

(*) Λαμία, καὶ Λαιμία εἶναι ζῷον ἁρπακτικὸν μὲ μεγάλον λαιμόν, μὲ τὸ ὁποῖον παρομοιάζει ἐνταῦθα ὁ στιχουργὸς τὸν Διάβολον.

### Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἁγία Βασίλισσα, θηριομαχήσασα καὶ μηδὲν βλαβεῖσα, τελειοῦται. (†305)

Στίχ. Ὀφθεῖσα Βασίλισσα φρικτὴ θηρίοις,
Φρικτῷ παρέστη παμβασιλέως θρόνῳ.

### Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Ἀριστίων, Ἐπίσκοπος Ἀλεξανδρείας, πυρὶ τελειοῦται.

Στίχ. Ὡς εἰς ἄριστον τὴν πυρὰν σπεύδων τρέχεις.
Χριστοῦ ἄριστε Μαρτύρων Ἀριστίων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας Φοίβης, διακόνου τῆς ἐν Κεγχρεαῖς Ἐκκλησίας, μαθητρίας τοῦ ἀποστόλου Παύλου. (α´ αἰ.)

Στίχ. Οὐ χρεία ἡμῖν ἐπιστολῆς, ὦ Φοίβη,
Χριστὸς γὰρ ὃν στέρνοις φέρεις μαρτυρεῖ σοι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ ὁμολογητοῦ ἡγουμένου Τριγλίας.

Στίχ. Θείου Στέφανος ἀμπελῶνος ἐργάτης,
Θεῷ παραστὰς καμάτου μισθὸν λάβοι.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Νεομάρτυς Πολύδωρος, ὁ ἐν τῇ Νέᾳ Ἐφέσῳ μαρτυρήσας κατὰ τὸ ἔτος ,αψϞδ´ (1794), ἀγχόνῃ τελειοῦται

Στίχ. Δῶρον Θεός σε καὶ πολύ τε καὶ νέον,
Δέδωκεν ἡμῖν, Πολύδωρε τρισμάκαρ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν εὐσεβῶν βασιλέων Κωνσταντίνου Γ´, υἱοῦ Ἡρακλείου, βασιλεύσαντος ἐν ἔτει 641, καὶ Κωνσταντίνου Δ´ τοῦ Πωγωνάτου, βασιλεύσαντος ἐν ἔτεσι 668-685, συγκαλέσαντος δὲ καὶ τὴν Ϛ´ Οἰκουμενικὴν Σύνοδον.

Στίχ. Χριστὸς Βασιλεὺς εὐσεβῆ Κωνσταντῖνον,
Ἐν οὐρανοῖς ἔστεψε κοσμίῳ στέφει.

Ἱερὸς Βασιλεύς, Θεοῦ ἐλέει,
Λαὸν Θεοῦ διακονεῖ καὶ Θεὸν θεραπεύει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωαννικίου, ἀρχιεπισκόπου καὶ πρώτου πατριάρχου Σερβίας. (†1349)

Στίχ. Καλῶς ποιμάνας τὴν Ἐκκλησίαν Σέρβων,
Ὁ Ἰωαννίκιος ἄνω μετέστη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νέου ἱερομάρτυρος Ῥαφαὴλ τοῦ Σέρβου, ἡγουμένου τῆς Μονῆς Σισάτοβατς, μαρτυρήσαντος ὑπὸ τῶν παπικῶν Οὐστάσι ἐν ἔτει ,αϡμα´ (1941).

Στίχ. Πολλὰ ἐπὶ γῆς παθών, Ῥαφαὴλ νέε,
Συνιερουργεῖς νῦν τοῖς Ἀγγέλοις ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ δασυτρίχου, τοῦ διὰ Χριστὸν σαλοῦ.

Στίχ. Σαλόμωρος τὰ ἔξω ὤν, Ἰωάννη,
Τὴν τοῦ Σταυροῦ σοφίαν ἐπενεδύθης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἀνακομιδῆς τῶν τιμίων λειψάνων τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Νεκταρίου, ἐπισκόπου Πενταπόλεως, τοῦ θαυματουργοῦ. (1953)

Στίχ. Ἐκ γῆς τὰ σὰ Λείψανα φανέντα πάτερ,
πᾶσι φαίνουσι τὴν κεκρυμμένην χάριν.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀνθίμου τοῦ Νέου τοῦ ἐν Χίῳ.

*

Τῇ αὐτῇ ἡμέρᾳ, πρώτῃ Κυριακῇ τοῦ μηνὸς Σεπτεμβρίου, Σύναξις τελεῖται ἐν τῇ Νήσῳ Νάξῳ πάντων τῶν ἐν τῇ Ἱερᾷ Μητροπόλει Παροναξίᾳ διαλαμψάντων Ἁγίων, ἤτοι· τῶν Ὁσίων Νικοδήμου τοῦ Ἁγιορείτου, Νικολάου πρεσβυτέρου τοῦ Πλανᾶ, Θεοκτίστης τῆς Μηθυμναίας, Ἀρσενίου ἐξ Ἠπείρου, Ἀθανασίου τοῦ Παρίου.

Στίχ. Σύναξιν τήνδε ποιοῦμεν
Νάξου τε Πάρου νέων Ὁσίων.

Ἔτι δὲ καὶ Σύναξις πάντων τῶν ἐν τῇ Ἁγιοτόκῳ Νήσῳ Χίῳ ἀσκήσει καὶ ἀθλήσει διαλαμψάντων Ἁγίων, τεσσαράκοντα τεσσάρων τὸν ἀριθμόν.

Στίχ. Φίλους Χριστοῦ ἡ Χίος γεραιρέτω·
Ταύτης γὰρ φρουροὶ τυγχάνουσι καὶ δόξα.

Καὶ Σύναξις πάντων τῶν ἐν Εὐξείνῳ Πόντῳ εὐαρεστησάντων τῷ Θεῷ ἀπ᾽ αἰῶνος Ἁγίων.

Στίχ. Ἀβρόχως πόντον τὸν ᾧδε διελθόντες,
Εἰς οὐρανὸν ᾤκησαν Ἅγιοι Πόντου.

Θηρὸς ποντίου νικηταὶ Χριστῷ Ἅγιοι σύνεισι Πόντου.

Ὡσαύτως, τῇ αὐτῇ Κυριακῇ, Σύναξις ἐπιτελεῖται ἐν Ἀρκαδίᾳ τῶν ἐξ αὐτῆς φυσάντων Ἑνδεκαρίθμων Ἁγίων, οἵτινές εἰσιν· Ἱεράρχαι μέν· Διονύσιος ὁ σοφός, Γρηγόριος ὁ Ε´ Πατριάρχαι Κωνσταντινουπόλεως· Θεόκλητος Λακεδαιμονίας, Ἀθανάσιος Χριστιανουπόλεως. Νεομάρτυρες δέ· Πέτρος ἐν Ὀδεμησίῳ μαρτυρήσας, Εὐθύμιος Ὁσιομάρτυς ἐκ Δημητσάνης, Παῦλος Ὁσιομάρτυς καὶ Δημήτριος ἐκ Λιγουδίτσης, ἕτερος Δημήτριος, ὁ καὶ Μῆτρος καλούμενος· Ὅσιοι δὲ δύο· Νεῖλος ὁ Μυροβλύτης καὶ Γεράσιμος ὁ ἐκ Λεονταρίου Μεγαλοπόλεως.

Στίχ. Ἑνδεκάριθμοι θεράποντες Κυρίου
Τῆς Ἀρκαδίας προΐστασθε ἀπαύστως.

Ἕνδεκα θεοϊδεῖς ἀνέρας ὁμᾶ τιμᾶν χρεὼν ἡμᾶς.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

### Τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ

Ψάλλονται τῇ 1η Αὐγούστου, ἀπὸ τῆς 6ης μέχρι τῆς 13ης Αὐγούστου καὶ ἀπὸ τῆς 24ης Αὐγούστου μέχρι τῆς 21ης Σεπτεμβρίου.

### Ὠιδὴ α´. Ἦχος πλ. δ´.

Σταυρὸν χαράξας Μωσῆς * ἐπ᾿ εὐθείας ῥάβδῳ, * τὴν Ἐρυθρὰν διέτεμε * τῷ Ἰσραὴλ πεζεύσαντι· * τὴν δὲ ἐπιστρεπτικῶς * Φαραὼ τοῖς ἅρμασι * κροτήσας ἥνωσεν, * ἐπ᾿ εὔρους διαγράψας * τὸ ἀήττητον ὅπλον· * διὸ Χριστῷ ᾄσωμεν, * τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

### Ὠιδὴ γ´.

Ῥάβδος εἰς τύπον * τοῦ μυστηρίου παραλαμβάνεται· * τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· * τῇ στειρευούσῃ δὲ πρῴην * Ἐκκλησίᾳ νῦν ἐξήνθησε * ξύλον Σταυροῦ * εἰς κράτος καὶ στερέωμα.

### Ὠιδὴ δ´.

Εἰσακήκοα, Κύριε, * τῆς οἰκονομίας σου τὸ μυστήριον, * κατενόησα τὰ ἔργα σου * καὶ ἐδόξασά σου τὴν θεότητα.

### Ὠιδὴ ε´.

Ὢ τρισμακάριστον Ξύλον! * ἐν ᾧ ἐτάθη Χριστός, * ὁ βασιλεὺς καὶ Κύριος· * δι᾿ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, * τῷ ἐν σοὶ δελεασθεὶς * Θεῷ τῷ προσπαγέντι σαρκί, * τῷ παρέχοντι * τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

### Ὠιδὴ ϛ´.

Νοτίου θηρὸς ἐν σπλάγχνοις * παλάμας Ἰωνᾶς * σταυροειδῶς διεκπετάσας, * τὸ σωτήριον πάθος * προδιετύπου σαφῶς· * ὅθεν τριήμερος ἐκδύς, * τὴν ὑπερκόσμιον ἀνάστασιν * ὑπεζωγράφησε * τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ * καὶ τριημέρῳ ἐγέρσει * τὸν κόσμον φωτίσαντος.

### Ὠιδὴ ζ´.

Ἔκνοον πρόσταγμα * τυράννου δυσσεβοῦς * λαοὺς ἐκλόνησε, * πνέον ἀπειλῆς * καὶ δυσφημίας θεοστυγοῦς· * ὅμως τρεῖς παῖδας * οὐκ ἐδειμάτωσε * θυμὸς θηριώδης, * οὐ πῦρ βρόμιον· * ἀλλ᾿ ἀντηχοῦντι * δροσοβόλῳ πνεύματι * πυρὶ συνόντες ἔψαλλον· * Ὁ ὑπερύμνητος * τῶν πατέρων καὶ ἡμῶν * Θεός, εὐλογητὸς εἶ.

### Ὠιδὴ η´.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν
τὸν Κύριον, * ὑμνοῦντες καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, παῖδες, * τῆς Τριάδος ἰσάριθμοι, * δημιουργὸν Πατέρα Θεόν· * ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον * καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· * καὶ ὑπερυψοῦτε * τὸ πᾶσι ζωὴν παρέχον * Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

### Η ΩιΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Στίχ. α´. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Στίχ. β´. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ´. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

### Καταβασία. Ὠιδὴ θ΄.

Μυστικὸς εἶ, Θεοτόκε, παράδεισος, * ἀγεωργήτως βλαστήσασα Χριστόν, * ὑφ᾿ οὗ τὸ τοῦ Σταυροῦ * ζωηφόρον ἐν γῇ * πεφυτούργηται δένδρον· * δι᾿ οὗ νῦν ὑψουμένου, * προσκυνοῦντες αὐτόν, * σὲ μεγαλύνομεν.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

### Ἦχος β΄.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ... ὅτι ἅγιός ἐστιν.

### Ἀναστάσιμον Ἐξαποστειλάριον Β΄.

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ Μυροφόροι, ἔχαιρον· εἶδον γὰρ νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ· καὶ αὐτὸς ταύταις ἔφη· Ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ τοῖς Μαθηταῖς· Ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας· ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

### Καὶ τοῦ ἱεράρχου. Γυναῖκες ἀκουτίσθητε.

Τὴν θήκην τῶν Λειψάνων σου, περικυκλοῦντες Ἅγιε, καὶ προσπτυσσόμενοι ταῦτα, ἐν εὐλαβείᾳ καὶ πόθῳ, δοξάζομεν Νεκτάριε, τὸν σὲ λαμπρῶς δοξάσαντα, θαυμάτων Πάτερ χάριτι· ὃν ἐκδυσώπει ἀπαύστως, ὑπὲρ τῶν σὲ ἀνυμνούντων.

### Θεοτοκίον.

Τὸν Ποιητὴν καὶ Κύριον, ἀφράστως σωματώσασα, τῶν οὐρανῶν πλατυτέρα, ὤφθης Ἁγνὴ Θεοτόκε· διὸ ἡμᾶς στενώσεως, παθῶν ποικίλων λύτρωσαι, καὶ τῆς χαρᾶς ἀξίωσον, τῆς οὐρανίου Παρθένε, τῇ μητρικῇ σου πρεσβείᾳ.

* * *

## ΑΙΝΟΙ

### Ἦχος δ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

### Ἡ Στιχολογία (Ψαλμοὶ ρμη΄, ρμθ΄) καί·

### Στιχηρὰ Ἀναστάσιμα. Ἦχος δ΄.

Στίχ. α΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ὁ Σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν ἀνάστασιν.

Στίχ. β΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Ἐν τῷ Σταυρῷ σου Χριστέ, τῆς ἀρχαίας κατάρας, ἠλευθέρωσας ἡμᾶς, καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας· ἐν δὲ τῇ ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας· διὸ βοῶμέν σοι· Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτήρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς, τῶν παγίδων τοῦ ἐχθροῦ· ὁ ἀναστὰς ἐκ τῶν νε-

κρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.

Στίχ. δ´. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τῶν πατρικῶν σου κόλπων, μὴ χωρισθεὶς μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως, καὶ Σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκί, ὁ ἀπαθὴς τῇ θεότητι· ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος παντοδύναμος.

Καὶ τοῦ ἱεράρχου, Στιχηρὰ Προσόμοια δ´.

Ἦχος α´. Πανεύφημοι Μάρτυρες.

Στίχ. ε´. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Πάτερ Νεκτάριε ζωῆς, αἰωνίου μέτοχος, τῇ καθαρᾷ πολιτείᾳ σου, καὶ ἰσοστάσιος, τῶν Ἁγίων πέλων, νέκταρ βλύζεις ἄυλον, ἡμῖν ἐκ τῶν τιμίων Λειψάνων σου, ὧν ἑορτάζοντες, τὴν ἐκ τάφου ἀνακόμισιν, ἀνυμνοῦμεν, τὸν σὲ θαυμαστώσαντα.

Στίχ. ϛ´. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πάτερ Νεκτάριε τὰ σά, Λείψανα τῇ χάριτι, ἡγιασμένα τοῦ Πνεύματος, ὡς ἄνθη εὔοσμα, ὤφθησαν ἐκ τάφου, καὶ ἀεὶ πηγάζουσιν, ἰάσεις τοῖς πιστῶς προσπελάζουσι, καὶ ἀπελαύνουσι, τῶν δαιμόνων τὴν ἐπήρειαν· διὰ τοῦτο, πάντες σὲ γεραίρομεν.

Στίχ. ζ´. Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Πάτερ Νεκτάριε ἡ σή, χάρις ἡ θεόσδοτος, διαβεβόηται ἅπασι, τῆς γῆς τοῖς πέρασι· πάντας γὰρ προφθάνεις, τοὺς πιστῶς καλοῦντάς σε, κινδύνων τε καὶ πόνων λυτρούμενος· διὸ τὰ πάνσεπτα, προσπτυσσόμενοί σου Λείψανα, ἀνυμνοῦμεν, τὸν σὲ θαυμαστώσαντα.

Στίχ. η´. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Πάτερ Νεκτάριε ἡ σή, Μάνδρα ἐπαγάλλεται, τοῖς μυριπνόοις Λειψάνοις σου, καὶ τὰ σὰ θαύματα, ἅπασι κηρύττει, ἡ δὲ νῆσος Αἴγινα, καυχᾶται τῇ θερμῇ προστασίᾳ σου, Ἑλλὰς δὲ ἅπασα, μακαρίζει θείοις ὕμνοις σε, ἐντρυφῶσα, τῶν σῶν ἀντιλήψεων.

Δόξα. Ἑωθινὸν Β´. Ἦχος β´.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ γυναιξί, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας, καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς· Ἠγέρθη γάρ φησιν, Ἰησοῦς ὁ Κύριος· διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ Μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθε αὐτόν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

Ἡ τοῦ ἱεράρχου.

Δόξα. Ἦχος πλ. δ´.

Ἀρχιερέων καλλονή, ἐν τῇ καθ᾽ ἡμᾶς γενεᾷ, δι᾽ ἀρετῶν λαμπρότητος, ὤφθης Ἱεράρχα Νεκτάριε· διὸ ἡ Ἐκκλησία τοῦ Χριστοῦ, καυχωμένη τῇ δόξῃ σου, ὡς πάλαι Ἰσραὴλ τοῦ Ἰωσὴφ τὸ σῶμα, τῶν σῶν Λειψάνων τὴν σορόν, τιμαῖς ὁσίαις περιβάλλει, καὶ εὐλαβῶς κατασπάζεται· καὶ τὴν ἐξ αὐτῶν προϊοῦσαν χάριν καρπουμένη, βοᾷ σοι Ἅγιε· Ὡς ἔχων παῤῥησίαν πρὸς Κύριον, ἀδιαλείπτως πρέσβευε, τὴν καλὴν ὁμολογίαν τηρεῖν ἀλώβητον, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, * Θεοτόκε Παρθένε· * διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, * ὁ ᾅδης ᾐχμαλώτισται, * ὁ Ἀδὰμ ἀνακέκληται, * ἡ κατάρα νενέκρωται, * ἡ Εὔα ἠλευθέρωται, * ὁ θάνατος τεθανάτωται, * καὶ ἡμεῖς ἐζωοποιήθημεν· * διὸ ἀνυμνοῦντες βοῶμεν· * Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, * ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

* * *

Καὶ εὐθὺς ψάλλεται
εἰς τὸν ἦχον τῆς Κυριακῆς

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. * Δόξα ἐν ὑψίστοις Θεῷ * καὶ ἐπὶ γῆς εἰρήνη, * ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, * εὐλογοῦμέν σε, * προσκυνοῦμέν σε, * δοξολογοῦμέν σε, * εὐχαριστοῦμέν σοι * διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, * ἐπουράνιε Θεέ, * Πάτερ παντοκράτορ· * Κύριε Υἱὲ μονογενές, * Ἰησοῦ Χριστέ, * καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, * ὁ ἀμνὸς τοῦ Θεοῦ, * ὁ Υἱὸς τοῦ Πατρός, * ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, * ἐλέησον ἡμᾶς, * ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, * ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, * καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, * σὺ εἶ μόνος Κύριος, * Ἰησοῦς Χριστός, * εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, * ἐν τῇ ἡμέρᾳ ταύτῃ * ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου * εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, * τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, * καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· * δίδαξόν με τὰ δικαιώματά σου. (ἐκ γ´)

Κύριε, * καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ καὶ γενεᾷ. * Ἐγὼ εἶπα· * Κύριε, ἐλέησόν με· * ἴασαι τὴν ψυχήν μου, * ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· * δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, * ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου * τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, * ἅγιος ἰσχυρός, * ἅγιος ἀθάνατος· * ἐλέησον ἡμᾶς. (ἐκ γ´)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος· * ἐλέησον ἡμᾶς.

*Καὶ πάλιν ἰσχυροτέρᾳ φωνῇ·*

Ἅγιος ὁ Θεός, * ἅγιος ἰσχυρός, * ἅγιος ἀθάνατος· * ἐλέησον ἡμᾶς.

*Καὶ τὸ ἀναστάσιμον τροπάριον. Ἦχος δ´.*

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· * ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου * καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· * καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον * τὸ νῖκος ἔδωκεν ἡμῖν * καὶ τὸ μέγα ἔλεος.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι πρέπει σοι πᾶσα δόξα…

Τὰ τυπικὰ μετὰ τῶν μακαρισμῶν τοῦ ἤχου.

Εἰ δὲ μή, τὰ Ἀντίφωνα.

Ἀντίφωνον Α´. Ἦχος β´. Ψαλμὸς ρβ´ (102).

Στίχ. α´. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β´. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. γ´. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. δ΄. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος β΄. Ψαλμὸς ρμε΄ (145).

Στίχ. α΄. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, * ὁ ἀναστὰς ἐκ νεκρῶν, * ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β΄. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Στίχ. γ΄. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Στίχ. δ΄. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, * ἀθάνατος ὑπάρχων * καὶ καταδεξάμενος * διὰ τὴν ἡμετέραν σωτηρίαν * σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου * καὶ ἀειπαρθένου Μαρίας, * ἀτρέπτως ἐνανθρωπήσας, * σταυρωθείς τε, Χριστὲ ὁ Θεός, * θανάτῳ θάνατον πατήσας, * εἷς ὢν τῆς ἁγίας Τριάδος, * συνδοξαζόμενος τῷ Πατρὶ * καὶ τῷ ἁγίῳ Πνεύματι, * σῶσον ἡμᾶς.

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος δ΄. Ψαλμ. ριζ΄ (117).

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὸ ἀναστάσιμον ἀπολυτίκιον τοῦ ἤχου.

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. β΄. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὸ ἀναστάσιμον ἀπολυτίκιον.

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ...

Στίχ. γ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Τὸ ἀναστάσιμον ἀπολυτίκιον.

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ...

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.
(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

Τὸ ἀναστάσιμον ἀπολυτίκιον. Ἦχος δ΄.
(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Τὸ Ἀπολυτίκιον τοῦ Ἱεράρχου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν σεπτῶν σου Λειψάνων, Ἱεράρχα Νεκτάριε, τὴν ἁγίαν ἐκ τάφου κομιδὴν ἑορτάζοντες, σωμάτων καὶ ψυχῶν ἁγιασμόν, καὶ ἴασιν παθῶν παντοδαπῶν, κομιζόμεθα προσπίπτοντες εὐλαβῶς, τῇ χάριτί σου κράζοντες· δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ τὸ γνωστόν. Ὅμοιον.

Σηλυβρίας τὸν γόνον, καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ· ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τοῦ Γενεσίου τῆς ὑπερ. Θεοτόκου.
(Ψάλλεται ἀπὸ κδ΄ Αὐγούστου ἕως ιβ΄ Σεπτεμβρίου πλὴν τῆς λα΄ Αὐγούστου καὶ τῆς α΄ καὶ ζ΄ Σεπτεμβρίου).

Ἦχος δ΄. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα * ὀνειδισμοῦ ἀτεκνίας, * καὶ Ἀδὰμ καὶ Εὔα * ἐκ τῆς φθορᾶς τοῦ θανάτου * ἠλευθερώθησαν, ἄχραντε, * ἐν τῇ ἁγίᾳ γεννήσει σου· * αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, * ἐνοχῆς τῶν πταισμάτων * λυτρωθεὶς ἐν τῷ κράζειν σοι· * Ἡ στεῖρα τίκτει * τὴν Θεοτόκον * καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

* * *

## ΑΠΟΣΤΟΛΟΣ

Κυριακῆς ΙΓ΄ ἑβδομάδος ἐπιστολῶν.

Προκείμενον καὶ Ἀλληλούϊα τοῦ ἤχου.

Προκείμενον. Ἦχος δ΄. (Ψαλμὸς ργ΄).

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον · Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(ιϛ΄ 13-24)

Ἀδελφοί, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς· ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν. Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα σὺν τῇ κατ᾽ οἶκον αὐτῶν ἐκκλησίᾳ. Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα. Μαρὰν ἀθᾶ. Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεθ᾽ ὑμῶν. Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ· ἀμήν.

Ἀλληλούϊα (γ΄). Ἦχος δ΄. (Ψαλμὸς μδ΄).

Στίχ. Ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης.

Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

## ΕΥΑΓΓΕΛΙΟΝ

Κυριακῆς ΙΓ΄ Ματθαίου

Ἐκ τοῦ κατὰ Ματθαῖον (κα΄ 33-42).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωπος τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησεν πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδή-

μησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ γίνεται τὸ κήρυγμα τοῦ θείου λόγου.

* * *

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία
τοῦ Ἱεροῦ Χρυσοστόμου.

* * *

Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας…

Ἄξιόν ἐστιν ὡς ἀληθῶς * μακαρίζειν σε τὴν Θεοτόκον, * τὴν ἀειμακάριστον καὶ παναμώμητον * καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. * Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως * Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

* * *

Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν. Ἦχος β´.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, * ἐλάβομεν Πνεῦμα ἐπουράνιον, * εὕρομεν πίστιν ἀληθῆ, * ἀδιαίρετον Τριάδα προσκυνοῦντες· * αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος β´.

Πληρωθήτω τὸ στόμα ἡμῶν * αἰνέσεώς σου, Κύριε, * ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, * ὅτι ἠξίωσας ἡμᾶς * τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· * τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, * ὅλην τὴν ἡμέραν * μελετῶντας τὴν δικαιοσύνην σου. * Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β´.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον * ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ´)

Ἀπόλυσις· Ὁ ἀναστὰς ἐκ νεκρῶν...

Δι᾽ εὐχῶν... Ἀμήν.

* * * * *

## ΣΥΜΠΛΗΡΩΜΑ

Ὠιδαὶ δ´-θ´ τῶν κανόνων.

Ὠιδὴ δ´. Ὁ ἀναστάσιμος. Ἦχος δ´. Ὁ εἱρμός.

Ἐπαρθέντά σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον, τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἀνελήλυθας τὰ πάθη μου θεραπεύσων, ἐπὶ Σταυροῦ τῷ πάθει τῆς ἀχράντου σαρκός σου, ἣν ἑκὼν ἐφόρεσας· διό σοι κραυγάζομεν· Δόξα τῇ δυνάμει σου Κύριε.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἀναμαρτήτου ὁ θάνατος γεγευμένος, ζωοποιοῦ τε σώματος τοῦ σοῦ ἐπαξίως, Δέσποτα νενέκρωται· ἡμεῖς δὲ βοῶμέν σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Κανὼν τοῦ Ἁγίου. Ὠιδὴ δʹ.
Ἦχος πλ. δʹ. Σύ μου ἰσχύς, Κύριε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱεραρχῶν, νέον ἐδείχθης ἀγλάϊσμα, Ἱεράρχα, ὅσιε Νεκτάριε, ἐν ὁσιότητι ἀληθεῖ, καὶ δικαιοσύνῃ, καὶ τῇ τῶν τρόπων χρηστότητι, κοσμήσας σου τὸν βίον, ἐκβοῶν τῷ Κυρίῳ· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ψυχῶν σοφέ, ἀπαλλαγὴ ἐκ τοῦ χείρονος, ὄντως ὤφθη, ἡ ἐν τοῖς Λειψάνοις σου, χάρις σκηνοῦσα ἡ θεϊκή· ἡ γὰρ πρῴην πόρνη, τῇ μετανοίᾳ κεκάθαρται, ἡνίκα παραδόξως, ἐκ τοῦ τάφου σου Πάτερ, θαυμαστὴ εὐωδία ἐκκέχυται.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἁγιασμόν, καὶ σωτηρίαν καὶ ἴασιν, τὰ ὀστᾶ σου, Πάτερ ἀναβλύζοντα, ἀνεκομίσθησαν εὐλαβῶς, καὶ ἐν τῇ Μονῇ σου, ὡς θησαυρὸς ἀπετέθησαν· οἷς προσιόντες, οἱ πιστοὶ πανταχόθεν, εὐφροσύνης πληροῦνται Νεκτάριε.

Δόξα.

Νόσοι δειναί, τῇ ἐπικλήσει σου Ἅγιε, ἐξιῶνται, Πνεύματος τῇ χάριτι· ὅθεν θαυμάτων σου τῶν πολλῶν, ὁ φθόγγος εἰς πᾶσαν, τὴν γῆν ἐξῆλθε Νεκτάριε, καὶ πᾶς ὁ τὴν σὴν κλῆσιν, προσφωνῶν τὴν θερμήν σου προστασίαν εὑρίσκει ἐπίκουρον.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλος ἐν σοί, ἀνερμηνεύτως ἐσκήνωσεν, ὁ ἐν κόλποις, τοῦ Πατρὸς ὡς σύνθρονος, Υἱὸς ὑπάρχων καὶ συμφυής, καὶ σαρκὸς Παρθένε, μετειληφώς τε καὶ αἵματος, διπλοῦς ἐκ σοῦ ἐτέχθη, ἐν μιᾷ ὑποστάσει, τοῦ Ἀδὰμ ἀνορθῶν τὸ ὀλίσθημα.

Ὠιδὴ εʹ. Ὁ ἀναστάσιμος. Ἦχος δʹ. Ὁ εἱρμός.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας· Φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Σὺ Κύριε πρὸς γῆν, συμπαθῶς κατελήλυθας· σὺ ὕψωσας τὴν πεσοῦσαν, τῶν ἀνθρώπων οὐσίαν, ἐν ξύλῳ ἀναρτώμενος.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Σὺ ἦράς μου Χριστέ, τῶν πταισμάτων τὸ ἔγκλημα· σὺ ἔλυσας τὰς ὀδύνας, τοῦ θανάτου Οἰκτῖρμον, τῇ θείᾳ ἀναστάσει σου.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ ὅπλον ἀρραγές, κατ᾽ ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Κανὼν τοῦ Ἁγίου. Ὠιδὴ εʹ.
Ἦχος πλ. δʹ. Ἵνα τί με ἀπώσω.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱλαστήριον ὥσπερ, ἡ τιμία θήκη σου πρόκειται ἅπασι, τοῖς προσερχομένοις, καὶ τὴν σὴν ἐξαιτοῦσι βοήθειαν, ἣν ἀπαύστως δίδου, Νεκτάριε θαυματοφόρε, ἀφανίζων ἐχθροῦ τὰ βουλεύματα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σωτηρίας λιμένα, ἡ ἁγία Μάνδρα σου ἔχει σε Ἅγιε, καὶ τοῖς σοῖς Λειψάνοις, ἀκλυδώνιστος σῴζεται πάντοτε, πάσης τρικυμίας, τῆς ἐν τῷ βίῳ καὶ ἀνάγκης, τὰ πολλά σου κηρύττουσα θαύματα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὥσπερ δόματα θεῖα, πανταχοῦ δεδώρηνται ἐκ τῶν Λειψάνων σου, πίστει ἀδιστάκτῳ, θεοφόρε Νεκτάριε τμήματα, πᾶσαν τὴν Ἑλλάδα, καὶ πᾶσαν ἄλλην χώραν Πάτερ, ἁγιάζοντα Πνεύματος χάριτι.

Δόξα.

Νέον ἄστρον ἐφάνης, ἐν τοῖς ζοφεροῖς τούτοις χρόνοις Νεκτάριε, τοῦ Εὐαγγελίου, ἀπαυγάζων τὸ φῶς τὸ ἀνέσπερον· ἔνθεν θεοφόρε, τῶν σῶν θαυμάτων τῇ δυνάμει, Ὀρθοδόξων εὐφραίνεις τὸ πλήρωμα.

Καὶ νῦν. Θεοτοκίον.

Ἐσαρκώθη ὡς οἶδεν, ὁ ἀπεριόριστος φύσει Θεότητος, ἐκ τῶν σῶν αἱμάτων, καὶ ἐφάνη τῷ κόσμῳ ὡς ἄνθρωπος, Κεχαριτωμένη· ὅθεν ὑμνοῦμέν σου τὴν δόξαν· ὅτι Μήτηρ Θεοῦ ὤφθης ἄχραντος.

Ὠδὴ στ΄. Ὁ ἀναστάσιμος. Ἦχος δ΄. Ὁ εἱρμός.

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾿ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἀνῆλθες, ἐν Σταυρῷ δυναστείαν ζωσάμενος, καὶ συμπλακεὶς τῷ τυράννῳ, ὡς Θεὸς ἐξ ὕψους κατέῤῥαξας· τὸν Ἀδὰμ δέ, ἀηττήτῳ παλάμῃ ἀνέστησας.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἀνέστης, ἐξαστράπτων ὡραῖος ἐκ τάφου Χριστέ, καὶ διεσκέδασας πάντας, τοὺς ἐχθροὺς τῇ θείᾳ σου δυναστείᾳ, καὶ τὰ πάντα, ὡς Θεὸς εὐφροσύνης ἐπλήρωσας.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον! ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

Κανὼν τοῦ Ἁγίου. Ὠδὴ Ϛ΄.
Ἦχος πλ. δ΄. Ἱλάσθητί μοι Σωτήρ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κειμήλιον ἱερόν, καὶ ὄλβον Πάτερ οὐράνιον, ἡ Μάνδρα σου ἡ σεπτή, τὴν ἁγίαν Κάραν σου, κατέχουσα γάνυται, τῇ ἀεὶ ἐκ ταύτης, προϊούσῃ θείᾳ χάριτι.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸ νέκταρ τὸ μυστικόν, ἐν τῇ ψυχῇ σου δεξάμενος, Νεκτάριε ἱερέ, πηγάζεις ἑκάστοτε, γλυκασμὸν χρηστότητος, τοῖς προσερχομένοις, τῇ σορῷ τῇ τῶν Λειψάνων σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Αἰγίνης χαίρει ἐν σοί, ἡ νῆσος πάτερ Νεκτάριε, πλουτήσασα ἐκ Θεοῦ, ὡς δῶρον οὐράνιον, τὰ θεῖά σου Λείψανα, ὧν τοῖς θαυμασίοις, καυχωμένη μακαρίζει σε.

Δόξα.

Ῥυσθῆναι πάσης ὀργῆς, Χριστὸν ἱκέτευε Ὅσιε, τοὺς προσιόντας πιστῶς, τῇ θείᾳ πρεσβείᾳ σου, καὶ τυχεῖν Νεκτάριε, θεϊκοῦ ἐλέους, καὶ τῶν θείων ἀπολαύσεων.

Καὶ νῦν. Θεοτοκίον.

Ἱκέτευε ἐκτενῶς, τὸν σὸν Υἱὸν καὶ Θεὸν ἡμῶν, Θεογεννῆτορ Ἁγνή, κινδύνων καὶ θλίψεων, καὶ πάσης κακώσεως, ἡμᾶς λυτρωθῆναι, τοὺς προστρέχοντας τῇ σκέπῃ σου.

Ὠδὴ ζ΄. Ὁ ἀναστάσιμος. Ἦχος δ΄. Ὁ εἱρμός.

Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογί, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Πρὸς ἀφθαρσίαν, ἡ ἀνθρωπότης ἀνακέκληται, θείῳ λουσαμένη αἵματι τοῦ Χριστοῦ, εὐχαρίστως ἀναμέλπουσα· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα Χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Κανὼν τοῦ Ἁγίου. Ὠιδὴ ζ΄.
Ἦχος πλ. δ΄. Θεοῦ συγκατάβασιν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Εἰς πᾶσαν ἐξέδραμε, τὴν οἰκουμένην πάτερ Νεκτάριε, τῶν πολλῶν σου θαυμάτων, ὁ θεῖος φθόγγος καὶ πάντες σπεύδουσι, τοῖς ἱεροῖς σου Λειψάνοις κραυγάζοντες. Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Αἰγίνης οἱ κάτοικοι, τῇ σοὶ δοθείσῃ πλουσίᾳ χάριτι, ἐπαγάλλονται Πάτερ, ὅτι προστάτην θερμόν σε κέκτηνται, μετὰ τὸν θεῖον σοφὲ Διονύσιον· μεθ᾽ οὗ δυσώπει Χριστόν, ὑπὲρ τῆς νήσου ἡμῶν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰάματα ἄφθονα, οἱ ἀσθενοῦντες δεῦτε ἀντλήσατε, ἐκ σοροῦ τῆς ἁγίας, τοῦ Νεκταρίου τοῦ πᾶσι νέμοντος, ἁγιασμὸν καὶ ὑγείαν καὶ ἔλεος, τοῖς προσιοῦσι πιστῶς, τῇ ἀντιλήψει αὐτοῦ.

Δόξα.

Ναὸς ὤφθης ἔμψυχος, τῆς Παναγίας Τριάδος Ἅγιε, καὶ ναῷ σου ἁγίῳ, ἐναποκείμενα τὰ σὰ Λείψανα, τῆς αἰωνίου ζωῆς ὑπεμφαίνουσι, Νεκτάριε ἱερέ, τὰς μυστικὰς ἀμοιβάς.

Καὶ νῦν. Θεοτοκίον.

Ὁλόφωτον σκήνωμα, τοῦ Φωτοδότου καὶ Παντοκράτορος, Φωτοτόκε Παρθένε, τὴν σκοτισθεῖσαν ψυχήν μου φώτισον, μαρμαρυγαῖς τῆς ἐν σοὶ ἀγαθότητος, καὶ ζοφερᾶς τοῦ ἐχθροῦ, ἀπάλλαξόν με φθορᾶς.

Ὠιδὴ η΄. Ὁ ἀναστάσιμος. Ἦχος δ΄. Ὁ εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Χεῖρας ἐκπετάσας ἐν Σταυρῷ, τὰ ἔθνη ἅπαντα ἐπισυνήγαγες, καὶ μίαν ἔδειξας Δέσποτα, Ἐκκλησίαν ἀνυμνοῦσάν σε, τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ, συμφώνως ψάλλουσιν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Λευχείμων ὡράθη γυναιξί, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, καταστραπτόμενος Ἄγγελος, Τί τὸν ζῶντα ἐν τῷ τάφῳ βοῶν, ἐπιζητεῖτε ὡς θνητόν; ὄντως ἠγέρθη Χριστός, ᾧ βοῶμεν· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ, σὺ τῆς θεότητος γέγονας, ἐνδιαίτημα Πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες σέ, εὐλογοῦμεν Μαρία θεόνυμφε.

Κανὼν τοῦ Ἁγίου. Ὠιδὴ η΄.
Ἦχος πλ. δ΄. Ἑπταπλασίως κάμινον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σθένος λαβὼν οὐράνιον, Ἱεράρχα Νεκτάριε, ὤφθης ἐναρέτου βίου ὑποτύπωσις, ἐσχάτοις ἐν ἔτεσι, τοῖς ἴχνεσιν ἑπόμενος, τῶν ἐν ἐγκρατείᾳ, καὶ ἀσκήσει ὁσίᾳ, Θεὸν θεραπευσάντων, μεθ᾽ ὧν καὶ ἀναμέλπεις· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γέγονε τῶν Λειψάνων σου, ἡ ἐκ τάφου ἐκκόμισις, ἑορτῆς ἁγίας τοῖς πιστοῖς ὑπόθεσις· ἐν ᾗ συνελθόντες σε, γεραίρομεν Νεκτάριε, καὶ περικυκλοῦντες, τὴν ἁγίαν σορόν σου, λαμβάνομεν ἐκ ταύτης, ψυχικὴν εὐφροσύνην, καὶ θείαν εὐλογίαν, καὶ λύσιν ἀθυμίας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Εἰς πᾶσαν γῆν καὶ θάλασσαν, τῶν θαυμάτων σου Ἅγιε, ἡ πληθὺς βοᾶται καὶ λαμπρῶς κηρύττεται· ἐντεῦθεν συῤῥέουσι, τῇ θήκῃ τῶν Λειψάνων σου, στίφη εὐσεβῶν, καὶ ἐξ αὐτῶν

πᾶσαν χάριν, καὶ ὄνησιν καρποῦνται, Χριστὸν δοξολογοῦντες, τὸν δείξαντά σε Πάτερ, δεδοξασμένον ἄρτι.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν
καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον·
ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ῥόδα καθάπερ εὔοσμα, τὰ σὰ τίμια Λείψανα, ἡνίκα ἠνοίγη ὁ τάφος σου ὤφθησαν, ὀσμὴν τὴν οὐράνιον, τοῖς πᾶσι διαπνέοντα, ὧν τὴν κομιδήν, ἐπιτελοῦντες βοῶμεν· Παθῶν ἀκαθαρσίας, καὶ νόσων δυσωδίας, ῥύου τοὺς σὲ τιμῶντας, Νεκτάριε θεόφρον.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνερμηνεύτως τέτοκας, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τὴν βροτείαν φύσιν ἐκ σοῦ ἐνδυσάμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἡμᾶς ἀνακαινίζοντα, πλούτῳ εὐσπλαγχνίας, Θεοτόκε Παρθένε· διὸ παλαιωθέντα, πολλαῖς με ἁμαρτίαις, ἐγκαίνισον διδοῦσα, ἐπιστροφὴν τελείαν.

Ὠιδὴ θ΄. Ὁ ἀναστάσιμος. Ἦχος δ΄. Ὁ εἱρμός.

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι σὲ Θεοτόκε μεγαλύνομεν.

Τροπάρια.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ὅλον με ἀνείληφας ὅλος, ἐν συναφείᾳ ἀσυγχύτῳ, ὅλῳ μοι διδοὺς ὁ Θεός μου, τὴν σωτηρίαν διὰ τοῦ πάθους σου· ὃ ἐν Σταυρῷ ὑπέμεινας, σωματικῶς δι᾿ εὐσπλαγχνίαν πολλήν.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Οἱ σοὶ Μαθηταὶ καθορῶντες, ἀνεῳγμένον σου τὸν τάφον, καὶ τὰς θεοφόρους σινδόνας, κεκενωμένας τῇ ἀναστάσει σου, σὺν τῷ Ἀγγέλῳ ἔλεγον· Ὄντως ἐγήγερται ὁ Κύριος!

Τριαδικόν.

Στίχ. Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Μονάδα μὲν θείας οὐσίας, ἀλλ᾿ ὑποστάσεων Τριάδα, πάντες οἱ πιστοὶ προσκυνοῦντες, ἐν ἀσυγχύτοις ταῖς ὑποστάσεσιν, ἰσοσθενῆ ὁμότιμον, ἣν εὐσεβοῦντες μεγαλύνομεν.

Κανὼν τοῦ Ἁγίου. Ὠιδὴ θ΄.
Ἦχος πλ. δ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σκηνώσας ἐν ταῖς ἄνω θείαις αὐλαῖς, Ἱεράρχα Νεκτάριε ὅσιε, σὺν τοῖς χοροῖς, πάντων τῶν Ἁγίων περιφανῶς, τὸ ἱερόν σου Λείψανον, δέδωκας τοῖς τέκνοις σου πατρικῶς, ὡς στήλην γεγραμμένην, τῶν πρὸς ἡμᾶς σου Πάτερ, εὐλογιῶν χάριν τὴν ἄφθονον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδόντες σου τὰ Λείψανα τὰ σεπτά, πλήρη χάριτος πάτερ Νεκτάριε, κροκκοβαφῆ, καὶ ἡγιασμένα παρὰ Θεοῦ, χαρᾶς καὶ κατανύξεως, πάντες ἐπληρώθησαν ἀληθῶς, οἱ ταῦτα ἐκ τοῦ τάφου, κομίσαντες ὁσίως, καὶ τὸν Σωτῆρα ἐμεγάλυναν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μονήν σου Ἱεράρχα τὴν εὐαγῆ, ἣν ἱδρῶσι καὶ πόνοις συνέστησας, σκέπε ἀεί, ταῖς σαῖς προστασίαις ταῖς θαυμασταῖς, καὶ ἅπασαν τὴν Αἴγιναν, ἄνωθεν εὐλόγει ὡς συμπαθής· ἰδοὺ γὰρ τοῖς σεπτοῖς σου, προσπίπτομεν Λειψάνοις, καὶ σὲ γεραίρομεν Νεκτάριε.

Δόξα.

Ὁ νέος ἐν Ἁγίοις λαμπρὸς ἀστήρ, Ὀρθοδόξων τὸ μέγιστον καύχημα, Πάτερ σοφέ, δέξαι μου τῶν ὕμνων τὴν προσφοράν· τολμήσας γὰρ πρὸν ᾔνεσα, τὴν σὴν ἐκδημίαν πρὸς τὸν Θεόν, νῦν μέλπων τῶν Λειψάνων, τῶν θείων σου τὴν μνήμην, τὴν σὴν αἰτῶ θερμὴν ἀντίληψιν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑψίστου ἐνδιαίτημα φωταυγές, τοῦ Δεσπότου καθέδρα ὑπέρλαμπρε, Μῆτερ Θεοῦ, μόνη Παντευλόγητε Μαριάμ, Παρθένε Θεοχώρητε, δεῖξόν με χωρίον χωρητικόν, τῆς θείας ἐπιπνοίας, δι᾿ ἐναρέτου βίου, τοῦ προελθόντος ἐκ λαγόνων σου.

* * * * *